3 trad.
Mk–Lk
Mk–Mt
Mt–Lk
Mk
Mt
Lk
———— verbal //
– – – – word, but not form
- - - - - transposed words



…παρ᾽ ὑμῖν γενομένων ἁγίων προφητῶν ἦσαν, καὶ παρ᾽ ἡμῖν νῦν πολλοί εἰσι καὶ …ς ἐν μηδενὶ ὑστερεῖσθαι ἡμᾶς, ἐπισταμένους ὅτι προγνώστης ἦν τῶν μετὰ τὴν …ντων γίνεσθαι ἡμῖν. [2] εἶπε γὰρ ὅτι φονεύεσθαι καὶ μισεῖσθαι διὰ τὸ ὄνομα αὐτοῦ …ματι αὐτοῦ παρελεύσονται καὶ πολλοὺς πλανήσουσιν«· ὅπερ καὶ ἔστι.

Excidiu… …richt über Judäa

The Desolating Sacrilege

| Matth. 24, 15-22 | Mark. 13, 14-20 | Luk. 21, 20-24 (19, 43-44; 17, 31) | Joh. |
|---|---|---|---|
| [15] ῞Οταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ⸋⸀ἑστὸς ἐν τόπῳ ἁγίῳ⸌, ὁ ἀναγινώσκων νοείτω, [16] τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ⸀εἰς τὰ ὄρη, | [14] ῞Οταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως ⸆ἑστηκότα ὅπου οὐ δεῖ, ὁ ἀναγινώσκων νοείτω⸆, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, | [20] ῞Οταν δὲ ἴδητε κυκλουμένην ⸉ὑπὸ στρατοπέδων ⸆ Ἰερουσαλήμ⸊, τότε ⸀γνῶτε ὅτι ⸀ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. [21] τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη καὶ οἱ ἐν μέσῳ αὐτῆς ⸆ ἐκχωρείτωσαν καὶ °οἱ ἐν ταῖς χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν, [22] ὅτι ἡμέραι ἐκδικήσεως αὗταί °εἰσιν τοῦ ⸀πλησθῆναι πάντα τὰ γεγραμμένα. | |
| [17] ὁ ἐπὶ τοῦ δώματος μὴ ⸀καταβάτω ἆραι ⸀τὰ ἐκ τῆς οἰκίας αὐτοῦ, [18] καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι ⸂τὸ ἱμάτιον⸃ αὐτοῦ. [19] οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς ⸀θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. [20] προσεύχεσθε δὲ ἵνα μὴ γένηται ⸉ἡ φυγὴ ὑμῶν⸊ χειμῶνος μηδὲ | [15] ⸂ὁ [δὲ]⸃ ἐπὶ τοῦ δώματος μὴ καταβάτω⸆ μηδὲ εἰσελθάτω ⸂ἆραί τι⸃ ἐκ τῆς οἰκίας αὐτοῦ, [16] καὶ ὁ εἰς τὸν ἀγρὸν⸆ μὴ ἐπιστρεψάτω ⸋εἰς τὰ⸌ ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. [17] οὐαὶ °δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ °¹ταῖς ⸀θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. [18] ⸂προσεύχεσθε δὲ⸃ ἵνα μὴ ⸀γένηται χειμῶνος⸃· | [23] οὐαὶ ⸆ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ °ταῖς ⸀θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· | |

| [Matth. 24, 15-22] | [Mark. 13, 14-20] | [Luk. 21, 20-24] | Joh. |
|---|---|---|---|
| ⸀σαββάτῳ. [21] ἔσται γὰρ τότε θλῖψις μεγάλη οἵα ⸂οὐ γέγονεν⸃ ἀπ᾽ ἀρχῆς κόσμου ἕως τοῦ νῦν ⸂οὐδ᾽ οὐ⸃ μὴ γένηται. | [19] ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις οἵα οὐ γέγονεν τοιαύτη ἀπ᾽ ἀρχῆς κτίσεως ⸋⸀ἣν ἔκτισεν ὁ θεὸς⸌ ἕως τοῦ νῦν ⸂καὶ οὐ⸃ μὴ γένηται. | ἔσται γὰρ ⸆ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς καὶ ὀργὴ ⸆ τῷ λαῷ τούτῳ, [24] καὶ πεσοῦνται⸆ στόματι ⸀μαχαίρης καὶ αἰχμαλωτισθήσονται εἰς ⸉τὰ ἔθνη πάντα⸊, καὶ Ἰερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι °οὗ πληρωθῶσιν ⸆ ⸋καιροὶ ἐθνῶν⸌. | |
| [22] καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. | [20] καὶ εἰ μὴ ⸂ἐκολόβωσεν κύριος⸃ τὰς ἡμέρας⸆, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο ἐκολόβωσεν τὰς ἡμέρας. | (nr. 292 21, 25-28 p. 404) | |
| | | 19, 43-44 (nr. 270, p. 369) [43] ῞Οτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ καὶ παρεμβαλοῦσιν οἱ ἐχθροί σου χάρακά σοι καὶ περικυκλώσουσίν σε καὶ συνέξουσίν σε πάντοθεν, [44] καὶ ἐδαφιοῦσίν σε καὶ τὰ τέκνα σου ἐν σοί, καὶ οὐκ ἀφήσουσιν λίθον ἐπὶ λίθον ἐν σοί, ἀνθ᾽ ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου. | |
| | | 17, 31 (nr. 235, p. 316) [31] Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ τοῦ δώματος καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά, καὶ ὁ ἐν ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. | |

| Matth. 24, 23-28 | Mark. 13, 21-23 | Luk. 17, 23-24. 37b | Joh. |
|---|---|---|---|
| 24, 4-5. 11 | 13, 5-6 | 21, 8; 17, 20-21 | |

## Matth. 24, 23-28

[23] Τότε ἐάν τις ⸉ὑμῖν εἴπῃ⸊· ἰδοὺ ὧδε ὁ χριστός, ἤ· ὧδε, μὴ ⸀πιστεύσητε· [24] ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα ⸂μεγάλα καὶ τέρατα⸃ ὥστε ⸀πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. [25] ἰδοὺ προείρηκα ὑμῖν. [26] ἐὰν οὖν εἴπωσιν ὑμῖν· ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστίν, μὴ ἐξέλθητε· ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε· [27] ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ ⸀φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται ⸆ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου· [28] ὅπου ⸆ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται ⸆ οἱ ἀετοί.

24, 4-5 *(nr. 288, p. 396)*

[4] Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· βλέπετε μή τις ὑμᾶς πλανήσῃ· [5] πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες· ἐγώ εἰμι ὁ χριστός, καὶ πολλοὺς πλανήσουσιν.

24, 11 *(nr. 289, p. 398)*

[11] Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσιν πολλούς.

## Mark. 13, 21-23

[21] Καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ· ἴδε ὧδε ὁ χριστός, ⸆ ἴδε ἐκεῖ, μὴ ⸀πιστεύετε· [22] ἐγερθήσονται ⸀γὰρ ⸋ψευδόχριστοι καὶ⸌ ψευδοπροφῆται καὶ ⸀δώσουσιν σημεῖα καὶ τέρατα πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνατόν, ⸆ τοὺς ἐκλεκτούς. [23] ὑμεῖς δὲ βλέπετε· ⸆ προείρηκα ὑμῖν πάντα.

13, 5-6 *(nr. 288, p. 396)*

[5] Ὁ δὲ Ἰησοῦς ἤρξατο λέγειν αὐτοῖς· βλέπετε μή τις ὑμᾶς πλανήσῃ· [6] πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι ἐγώ εἰμι, καὶ πολλοὺς πλανήσουσιν.

## Luk. 17, 23-24. 37b

17, 23-24 *(nr. 235, p. 316)*

[23] Καὶ ἐροῦσιν ὑμῖν· ἰδοὺ ⸂ἐκεῖ, [ἤ·] ἰδοὺ ὧδε⸃· ⸂μὴ ἀπέλθητε μηδὲ διώξητε⸃. [24] ὥσπερ γὰρ ἡ ἀστραπὴ ⸆ ἀστράπτουσα ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν ⸋εἰς τὴν ὑπ' οὐρανὸν⸌ ⸀λάμπει, οὕτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ⸋[ἐν τῇ ἡμέρᾳ αὐτοῦ]⸌.

17, 37b *(nr. 235, p. 316)*

[37b] Ὁ δὲ εἶπεν αὐτοῖς· ὅπου τὸ σῶμα, ἐκεῖ ⸂καὶ οἱ ἀετοὶ ἐπισυναχθήσονται⸃.

21, 8 *(nr. 288, p. 396)*

[8] Ὁ δὲ εἶπεν· βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες· ἐγώ εἰμι, καί· ὁ καιρὸς ἤγγικεν. μὴ πορευθῆτε ὀπίσω αὐτῶν.

17, 20-21 *(nr. 234, p. 315)*

[20] Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων πότε ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν· οὐκ ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ μετὰ παρατηρήσεως, [21] οὐδὲ ἐροῦσιν· ἰδοὺ ὧδε ἤ· ἐκεῖ, ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστιν.

## Joh.

Matth.: 23 ⸉ L d e ff1; Hipp |